## ΤΞΑ′.

Ὁ ταῖς αἰσθήσεσιν ὀρθαῖς βουλόμενος χρῆσθαι, καὶ ταύτας οὕτω παραλαμβάνειν, ὥστε ἐξ αὐτῶν ἀναφαίνεσθαι βεβαιότητα, τὰ αἰσθητήρια αὐτοῦ οὕτως ἐχέτω φύσεως, ὥστε μηδεμιᾷ μοχθηρίᾳ ἢ νόσῳ μοχθεῖν.

Δείκν. Ὅτε γὰρ τὰ αἰσθητήρια διεφθαρμένα ᾖ, οὐ τὰς αὐτὰς πάντως ἐν ἐκείναις τὰ ἀντικείμενα παράξει μεταβολὰς, ἃς παρῆγον ἂν ἐκείνων ὑγιῶν ὄντων. Ὅθεν οὐδὲν θαυμαστὸν κατὰ τὰς διεφθαρμένας αἰσθήσεις κρίνοντα τὸν νοῦν ἀπατᾶσθαι. Εἴπερ οὖν ταῖς αἰσθήσεσιν ὀρθῶς βουλόμεθα χρῆσθαι καὶ ταύτας προσλαμβάνειν, ὡς ἂν ὁ νοῦς κατ᾽ αὐτὰς κρίνων οὐδόλως ἐξαπατῷτο, ἀνάγκη τὰ αἰσθητήρια ὑγιαίνοντα εἶναι, καὶ ἀδιάφθορα.

„ Ἀφυὴς οὖν εἰς τὸ κρίνειν περὶ χρωμάτων ἐστὶν ὁ βεβλαμμένος ταῖς ὄψεσιν· οὐδ᾽ ὁ πυρετῷ
„ συνεχόμενος ἐπιτηδείως ἔχει εἰς τὴν ὀρθὴν δοκιμασίαν τοῦ χυμοῦ τοῦδε ἢ ἐκείνου τοῦ
„ βρώματος.

## ΤΞΒ′.

Ὧ τινι οὖν τύχωσιν οὖσαι αἱ αἰσθήσεις μικρὸν ἀσθενέστεραι, δι᾽ ὀργάνων τεχνικῶν, Τηλεσκοπίων φημὶ καὶ Μικροσκοπίων τὴν ἔλλειψιν ταύτην ἰᾶσθαι. τοῦτον χρεών.

## ΤΞΓ′.

Ἵνα δὲ μὴ ὁ νοῦς κατὰ τὰς αἰσθήσεις κρίνων ἐξαπατῷτο. τὰ ὧν περ αἰσθανόμεθα προσεχέστερον ὀφείλομεν διασκέπτεσθαι.

Δείκν. Ἐπεὶ γὰρ ὅσῳ πλεῖστον τῷ προσλαμβανομένῳ ἐνατενίζομεν πράγματι, τοσοῦτον σαφεστέρα ἡ Ἰδέα ἀποτελεῖται (ΟΘ′.), οὐδεὶς ἀμφιγνοήσει τὸν ἠμελημένης τῆς προσοχῆς πράγματός τινος αἰσθανόμενον ἀσαφῶς πως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ρ.Α. τη Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πως γινώσκειν αὐτό. Ὅθεν ἐντεῦθεν γινώσκεται τίδηποθ᾽ ὁ νῦς κατὰ τοιαύτην αἴσθησιν κρίνων πλεῖστον ὅσον ἐξαπατᾶται. Εἰ ἄρα ὁ νῦς ἐν ταῖς κρίσεσι ταῖς δι᾽ αἰσθήσεως εἰδοποιημένας ἐκ ὀφείλει ἐξαπατᾶσθαι, καὶ ἡμεῖς ταῖς ἡμετέραις αἰσθήσεσιν ὀρθῶς χρῆσθαι βυλόμεθα, τητὶ μάλιστα σπουδαστέον, καὶ ὅ, τι προσλαμβάνομεν ἤτοι αἰσθανόμεθα ἀκριβεῖ διασκέψασθαι προσοχῇ.

## ΤΞΔ΄.

Ἔτι ὁ ταῖς αἰσθήσεσιν ὀρθῶς χρῆσθαι βυλόμενος, καὶ εἰς τὴν τῶν ἀληθειῶν ἔρευναν προσλαμβάνειν αὐτὰς ἐφιέμενος, ὡς ἂν ὁ νῦς κατ᾽ αὐτὰς κρίνων ἐ ῥᾶσα ἐξαπατῷτο, ἐπὶ τοσαύτας αἰσθήσεις ἀναγαγέτω τὸ προσληφθὲν, ἐφ᾽ ὅσας ἀνάγεσθαι δύναται.

Δεῖξ. Ἐπεὶ γὰρ τοσῦτον ἡ Ἰδέα τῦ προσλαμβανομένυ πράγματος σαφεστέρα ἀποτελεῖται, ὅσον διὰ πλειόνων αἰσθήσεων ταυτὶ προσλαμβάνεις, ἀναμφιῤῥεπὲς ἤδη ἐχ ὅτως εὐχερῶς τὸν νῦν ἐξαπατηθήσεσθαι κρίνοντα κατὰ τὰς αἰσθήσεις, εἴπερ διὰ πλειόνων αἰσθήσεων ἑνὸς καὶ τῦ αὐτῦ ἀντιλαμβανόμεθα πράγματος. Ὀρθῶς ὖν ἐντελλόμεθα ἔτι ὁ ταῖς αἰσθήσεσιν ὀρθῶς χρῆσθαι βυλόμενος, καὶ εἰς τὴν τῶν ἀληθειῶν ἔρευναν κτλ.

## ΤΞΕ΄.

Εἴπερ ἡ Κρίσις ἡ ἐν ταῖς αἰσθήσεσιν ἱσαμένη ἐκ ὀφείλει ἐξαπατᾷν, ὡρισμένην δεῖ παρεῖναι τὴν τῶν αἰσθητηρίων καὶ τῶν ἀντικειμένων διάςασιν.

Δεῖξ. Εἰ γὰρ τὰ ἀντικείμενα λίαν ἀπεσχοινισμένα ἢ τῶν ὀργάνων, ἀσθενέστερον πάντως κινήσει τὰ αἰσθητήρια, καὶ ἑπομένως ἡ τῦ προσλαμβανομένυ ἐν τῇ ψυχῇ παράςασις, ἔςαι ἀσαφὴς, ὁ δὲ νῦς κατα τὴν ἀσαφῆ ταύτην παράςασιν ἐπιφέρων τὴν κρίσιν ῥᾷςα ἐξαπατᾶται.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΤΞϛ'.

Ἐν τοῖς μάλιϛα δὲ τετὶ προφυλακτέον περὶ τὴν πεῖραν, μήποτε πράγματι, ὅπερ οὐδέπω πεῖραν ἐλάβομεν, ἀλλ᾽ ἢ διὰ Συλλογισμῶν ἐκ τῆς πείρας παραγομένων, ἢ διὰ τῆς φαντασίας ἡμῖν ἀλλαχόθεν ὑπάρχεται λαμβάνομεν ἀντὶ πείρας. Ταύτην δὲ τὴν πλάνην ἐν τῷ πειρᾶσθαι, οἱ πλημμελοῦντες ὑφ᾽ ἁρπαγῆς πλημμελοῦσι κακίαν, συνίσταται δ᾽ αὕτη ὁπηνίκα τινὸς πειρᾶσθαι δοκοῦμεν ἑαυτοῖς, ὅπερ οὐδόλως πειρώμεθα.

„ Διὰ τῆς πείρας μόνον γινώσκομεν τὰ καθ᾽ ἕκαϛα, ἤτοι τὰ ἐνεργείᾳ ὑπάρχοντα. Ὅσπερ οὖν πλέω ἐκ τῆς πείρας ἀνακρίνεσθαι νομίζομεν ἑαυτοὺς, καὶ μὴ μόνα τὰ ἐνεργείᾳ ὑπάρχοντα, τὰς τῶν πραγμάτων ἔτι αἰτίας τὰς ἐκ τῶν ἐνεργείᾳ ὑπαρχόντων διὰ διανοημάτων παραγομένας ἐκ τῆς πείρας δεικνύειν ἀξιοῦντες τάς τε ἡμετέρας ὑποθέσεις, καὶ τὰς τῆς φαντασίας γονὰς τοῖς, ὧν περ πειρώμεθα, ἀναμιγνύντες, τὴν ὀνομασθεῖσαν δηλ. τῆς ὑφαρπαγῆς ταύτην πλημμελοῦμεν κακίαν. Π. Χ. Διὰ τῆς πείρας γινώσκομεν τὴν Μαγνῆτιν ἕλκειν τὸν σίδηρον. Εἴπερ οὖν τὰς τοῦ φαινομένου τούτου αἰτίας ἐρευνήσας τὰς ἀποῤῥοίας τῆς μαγνήτιδος ἐν αἰτίᾳ θῆς εἶναι, καὶ ἐκεῖν᾽ ἀξιώσαις, διὰ τῆς πείρας πρόδηλον εἶναι τὸ δι᾽ ἀποῤῥοιῶν τὴν Ἡράκλειον λίθον ἕλκειν τὸν σίδηρον, τὴν τῆς ὑφαρπαγῆς ἁμαρτάνεις κακίαν. Τὸ γὰρ ἐκ τῆς πείρας συμπεραινόμενόν τε καὶ συναγόμενον ἀντὶ τῆς πείρας λαμβάνεις αὐτῆς. Πλείω τῆς κακίας ταύτης τῆς ὑφαρπαγῆς, παραδείγματα ἔταξα ἐν τῇ ἀναπτύξει.

## ΤΞΖ'.

Τῶν Κανόνων δὴ τούτων καὶ προφυλακῶν περὶ τὰς αἰσθήσεις τε καὶ τὴν πεῖραν ἤδη σημειωθέντων, εὐχερῶς τανῦν ἡ ὁδὸς ἡ ἐπὶ τὴν ἀλήθειαν ὀχυρωθήσεται. Ὀψόμεθα τοιγαροῦν ὅπως διὰ τῶν αἰσθήσεων καὶ τῆς πείρας, αἱ Ἔννοιαι καὶ αἱ κρίσεις διαμορφοῦσθαι δύνανται καὶ εἰώθασι.

## ΤΞΗ'.

### Ὁποιασδηποτοῦν ἑαυτοῖς Ἐννοίας διὰ τῆς πείρας εἰδοποιοῦμεν ἀμέσως εἰσὶ μόνον ἀτομικαί.

Δείκν. Ἐπεὶ γὰρ πᾶν, οὗτινος πεῖραν ἔχομεν, ὑπάρχει τε καὶ καθ᾽ ἕκαϛά ἐϛι (ΤΝΒ), πρόδηλον ἡμᾶς διὰ τῆς πείρας μόνον ἑαυτοῖς παριϛᾶν τὰ

ὑπάρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΥΠΑ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὑπάρχοντα· ἡ δὲ τῆ ὑπάρχοντος παράστασις Ἔννοια ἐστὶν ἀτομική (ΡΒ΄.) ἄρα ὁποιασδηποτοῦν ἑαυτοῖς διὰ τῆς πείρας ἀμέσως διαμορφῶμεν Ἐννοίας ἀτομικαὶ μόνον ὑπάρχουσιν Ἔννοιαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΤΞΘ΄.

Αἱ κρίσεις ἐν ταῖς καθ᾿ ἕκαστα ταύταις ἐννοίαις ταῖς διὰ τῆς πείρας εἰδοποιημέναις ἐρειδόμεναι ἐποπτικαὶ λέγονται. Ὁρίζεται δὲ ὁ περίπυστος Βόλφιος τὴν ἐποπτικὴν κρίσιν τοιαύτην εἶναι, καθ᾿ ἣν ὄντι τινὶ ἀπονέμομεν ὅσαπερ καθορῶμεν ἐν τῇ αὐτῇ Ἐννοίᾳ περιεχόμενα· ἡ δὲ διὰ Συλλογισμοῦ ἐκ τῆς ἐποπτικῆς κρίσεως ἐξαγομένη κρίσις, διανοητικὴ λέγεται.

„ Οὕτω π. χ. Τῷ πυρὶ ἀπονέμομεν τὴν θερμότητα, ὅτι ἡ Ἔννοια, ἣν περὶ τοῦ πυρὸς „ ἔχομεν, θερμὸν ἡμῖν τὸ πῦρ παριστᾶ· ἡ κρίσις οὖν ἡ τὸ πῦρ ἐστὶ θερμὸν λέγουσα, „ ἐποπτική ἐστιν. Εἰ δὲ τὸν *Τίτιον* ὀργιζόμενον ἴδοις, τότε δὴ ἐκ τῆς κρίσεως ταύ- „ της τῆς ὁ *Τίτιός* ἐστιν ὀργιζόμενος, καὶ ἑτέρας, ἥνπερ ἡ μνήμη σοὶ ὑποτίθησιν, ὁ „ ὀργιζόμενος οὐκ ἔστιν ἔμφρων, τρίτην ἐξάγεις, τὴν ὁ *Τίτιος* οὐκ ἔστιν ἔμφρων, ταύ- „ την δὲ τὴν τρίτην κρίσιν διανοητικὴν λέγομεν.

## ΤΟ΄.

Ἀπὸ τῶν ὑστέρων, ἤτοι διὰ τῆς πείρας εἰδοποιοῦνται κρίσεις ἐποπτικαὶ τοῦτον τὸν τρόπον.

Α΄. Προσέχων ἐπὶ τὸ προσλαμβανόμενον πρᾶγμα λάβε τουτὶ ὑποκείμενον.

Β΄. Προσέχων ἐπὶ τὸ ἐνυπάρχον τῷ προσλαμβανομένῳ πράγματι, τουτὶ λάβε κατηγορούμενον, καὶ οὕτως ἡ ἐποπτικὴ κρίσις γενήσεται.

„ Παρ. χάρ. Τὸ πῦρ προσλαμβάνων καὶ ἐν αὐτῷ τὸ καίειν παρατηρῶν, τὸ μὲν πῦρ ὑπο- „ κείμενον, τὸ δὲ καίειν λῆψῃ κατηγορούμενον, κἀντεῦθεν ἀνακύψει ἐποπτικὴ καὶ κατα- „ φατικὴ κρίσις, τὸ πῦρ καίει.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΤΟΑ'.

Ἡ ἐποπτικὴ ἀποφατικὴ κρίσις τὸν τρόπον τοῦτον εἰδοποιεῖται.

Α'. Τὸ προσλαμβανόμενον πρᾶγμα λάβε ὡς ὑποκείμενον.

Β'. Τὸ ἄλλο τε ἄλλοις παρατηρηθὲν ἐνυπάρχειν, ἐν δὲ τῷ προσλαμβανομένῳ πράγματι μὴ προσεῖναι κατανοηθέν, ὡς κατηγορούμενον λάμβανε ἀποφατικόν. οἷον παρ. χάρ. Τὴν τράπεζαν ταύτην προσλαμβάνων ἐν ὑποκειμένου χώρᾳ ὡς προσλαμβανόμενον πρᾶγμα, λήψῃ ταύτην τὴν τράπεζαν, ἐπεὶ δὲ τὴν στρογγυλότητα ἐν ἄλλοις τισὶ παρατηρήσας ὑπάρχειν, ἐν τῇ τραπέζῃ ταύτῃ οὐκ εὕρηκας, τὸ στρογγύλον ὡς ἀποφατικὸν λαμβάνεις κατηγορούμενον τοῦτον τὸν τρόπον· αὕτη ἡ τράπεζα οὐκ ἔστι στρογγύλη.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ...

## ΤΟΒ'.

Ὁρᾷς οὖν ἐκ τούτων τὰς διὰ τῆς πείρας εἰδοποιουμένας τῶν κρίσεων, κρίσεις εἶναι καθ' ἕκαστα.

Δεῖξιν. Αἱ κρίσεις αἱ διὰ τῆς πείρας διαμορφούμεναι εἰσὶ Κρίσεις ἐποπτικαὶ (ΤΞΘ'.), ἐν δὲ ταῖς ἐποπτικαῖς Κρίσεσιν ἀντὶ ὑποκειμένου τὸ πρᾶγμα λαμβάνεται, τὸ προσλαμβανόμενον ταῖς αἰσθήσεσι (ΤΟ'.), τὸ δὲ προσλαμβανόμενον ταῖς αἰσθήσεσι καθ' ἕκαστα λέγεται, ἤτοι Ἄτομον (ΤΘ'.), ἄρα ἐν ταῖς ἐποπτικαῖς κρίσεσι χώραν ὑποκειμένου κληροῖ τὸ καθ' ἕκαστα ἤτοι τὸ Ἄτομον. Ἡ δὲ κρίσις ἐν ᾗ χώραν ὑποκειμένου ἐπέχει τὸ καθ' ἕκαστον, εἴτουν Ἄτομον μερικὴ λέγεται (ΣΙΖ'.). Ἄρα αἱ διὰ τῆς πείρας διαμορφούμεναι κρίσεις εἰσὶ καθ' ἕκαστα.

## ΤΟΓ'.

Καί τοι δὲ τῶν τε ἐννοιῶν καὶ τῶν κρίσεων τῶν εἰδοποιουμένων διὰ τῆς πείρας καθ' ἕκαστα οὐσῶν (ΤΟΒ'.), οὐδὲν ἧττον ἔμπης ὥσπερ ἀνωτέρω τὰς μερικὰς προτάσεις εἰς καθόλου μεταβάλλεσθαι ἀπεδείξαμεν (ΣΙϛ'.), οὕτω δὴ καὶ



Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 200...

αἱ καθ᾽ ἕκαστα εἰς καθόλου μεταλλάττεσθαι δύνανται. Διδάξωμεν τοιγαροῦν τίνι τρόπῳ αἱ ἔννοιαι καὶ ἐποπτικαὶ κρίσεις εἰς καθόλου μετατρέπεσθαι δύνανται.

„ *Πρὶν οὖν δὲ ὁ τρόπος τοῦ διαμορφοῦν τὰς καθόλου Ἐννοίας διὰ τῆς πείρας ἀποδειχθῇ ἐν τοῖς*
„ *μάλιστα ἐπαφελές ἐστι, διδάξαι τίνι τρόπῳ ἐκ τῶν ὑστέρων, ἤτοι διὰ τῆς πείρας, τὰ*
„ *προσδιδόμενα καὶ τὰ συμβεβηκότα, ἤτοι οἱ τρόποι τοῦ προσλαμβανομένου πράγματος*
„ *ἀνιχνεύεσθαι δύναται.*

## ΤΟΔ΄.

Βουλομένῳ σοι ἀπὸ τῶν ὑστέρων, ἤτοι διὰ τῆς πείρας εἰδέναι εἴπερ τὸ παρατηρούμενον ἐνυπάρχειν τῷ προσληφθέντι πράγματι, προσδιδόμενον εἴτ᾽ οὖν ὑσιῶδες ἐκείνου εἴη, ἢ γοῦν συμβεβηκὸς, προσεκτέον, εἴγε τὸ παρατηρούμενον ἐνυπάρχειν ἀείποτε καὶ ὡσαύτως τῷ προσλαμβανομένῳ ἀνήκει, ἢ οὔ. Εἴπερ οὖν τὸ Α΄. ἐν τῷδε τῷ χρόνῳ τῷ προσλαμβανομένῳ πράγματι παρατηρήσειας ἐνυπάρχειν· ἄλλοτε δὲ ἐν τῷ αὐτῷ, ἢ ἐν ἑτέρῳ τοῦ αὐτοῦ γένους ἢ εἴδους, οὐχ εὑρίσκεται. Τότε δὴ τὸ Α΄. ἐπὶ τὰ μεταβλητὰ συμβεβηκότα, ἤτοι τοὺς τρόπους τοῦ προσλαμβανομένου ὑποκειμένου ἀνάγειν χρεών.

„ *Παρατηρῶν παρ. χάρ. ὑγρὸν τὸν κηρὸν, εἴπερ εἰδέναι βούλοιο τὸ ὑγρὸν ἂν ᾖ συμβεβη-*
„ *κὸς τῷ κηρῷ, προσέχειν ὀφείλεις ἂν ἀεὶ τὸ ὑγρὸν, καὶ ὡσαύτως τῷ κηρῷ πρόσεστιν·*
„ *ἐπεὶ δὲ τῷ πυρὶ τὸν κηρὸν προσεγγίσαντα παρατηρεῖς τήκεσθαι, μακρὰν δὲ τούτου*
„ *γινόμενον, οὐδ᾽ ὅλως εἶναι ὑγρὸν, ὁρᾷς ἤδη τὸ ὑγρὸν εἶναι ἐπὶ τὰ μεταβλητὰ τοῦ*
„ *κηροῦ, καὶ ἑπομένως ἐπὶ τὰ συμβεβηκότα ἤτοι τρόπους τοῦ αὐτοῦ ἀναφέρεσθαι.*

## ΤΟΕ΄.

Εἰ δὲ τὸ Α΄. ἐν τῷ προσλαμβανομένῳ πράγματι ἀείποτε παρατηρεῖς, καὶ ἐν πᾶσι τοῖς ἀντικειμένοις τοῖς τοῦ αὐτοῦ γένους ἢ εἴδους τῷ προσλαμβανομένῳ πράγματι οὖσι τὸ Α΄. εὑρίσκεται, εἰκότως δὴ τὸ αὐτὸ ὡς οὐσιῶδες τοῦ προσλαμβανομένου, εἴτ᾽ οὖν προσδιδόμενον λαμβάνεται μηδ᾽ ὅλως αὐτοῦ ἀφαιρεῖσθαι δυνάμενον.

„ *Οὕτω παρ. χάρ. Παρατηρεῖς τῷ πυρὶ ἐνυπάρχειν ἀεὶ τὴν θερμότητα, οὔτ᾽ ἐναντίον*
„ *τι τοῦ πυρὸς παράδειγμα προφέρεσθαι δυνατὸν, ἐν ᾧ ἡ θερμότης οὐ παρατηρεῖται, ὥ-*

σαύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. Δ/της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ πάντας· εἰδότας ἂν τὴν θερμότητα ὡς ἰδιῶδες τοῦ πυρὸς, ἀτ' ἂν προσδιδόμενον
„ τούτῳ τιθέμεθα.

## ΤΟϚ΄.

Ἐντεῦθεν νῦν δυνατὸν κατανοηθῆναι, ὅπως ἐκ τῶν ὑστέρων ἤτοι διὰ τῆς πείρας ἐννοίας διακεκριμένας καθόλου εἰδοποιεῖσθαι ᾗ δύνανται. Τουτέστιν Ἔννοιαι ἐν αἷς τὰ χαρακτηριστικὰ γνωρίσματα παριστῶντες (ΟΕ΄.) τὰ πᾶσι τοῖς τοῦ αὐτοῦ γένους ἢ εἴδους ὑποκειμένοις ἀνήκοντα. (ΡΗ΄.) τῶν δὲ διακεκριμένων καθόλου τουτωνὶ ἐννοιῶν, ὁρισμῶν ὄντων (ΡΝΓ΄.), ῥᾷστα κατανοεῖται, ὅπως ἐκ τῶν ἀτομικῶν συμβαμάτων, οἱ ὁρισμοὶ ἀπὸ τῶν ὑστέρων ἐξάγονται.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΤΟΖ΄.

Εἰς εἰδοποίησιν ἀμέλει τῶν διακεκριμένων καθόλου ἐννοιῶν συμβάλλει τοὺς ἑπομένους κανόνας σημειωθῆναι. Α΄. Τοσαύτας ποίησον κρίσεις ἐποπτικὰς, ὅσα ἐν τῷ προσλαμβανομένῳ πράγματι διακρίνεις· Β΄. Παράλιπε τὰ κατὰ συμβεβηκὸς κατηγορημένα, ἤτοι τὰ ποικίλλεσθαι καὶ μεταβάλλεσθαι δυνάμενα. Γ΄. τῶν Κατηγορημένων τὰ μὴ ἐν ἁπάσῃ περιστάσει ὄντα τὰ αὐτὰ, τῶν μερικῶν διορισμῶν ἐλευθέρωσον. Δ΄. Εὐχερέστερον τεύξῃ τοῦ προκειμένου, πλείω παραδείγματα πρὸς ἄλληλα παραβάλλων, καὶ ἐπιμελῶς προσέχων ἐν τίνι τὰ παραδείγματα ἀεὶ ὡσαύτως συνᾴδει, καὶ ἐν τίνι ἀλλήλων ἐστὶ διαφορά.

„ Ἵνα δὲ οἱ Κανόνες οὗτοι οἱ εἰς εἰδοποίησιν ἐννοιῶν, ἤτοι ὁρισμῶν ἀπὸ τῶν ὑστέρων τὰ μάλιστα χρησιμεύοντες, ἐκτὸς δυσχερείας καταληφθῶσι. καὶ ὀρθῶς ἐφαρμοσθῶσι παράδειγμα ὑποθήσω μάλα καταφανές. Θῶμεν εἰδέναι σε θέλειν τί ποτ' ἐστὶ τὸ ἐπαινεῖν ἕτερον. Θῶμεν ἔτι λυσιτελεῖν σοι τὸ εἰδέναι τὴν γενικωτέραν καὶ καθόλου Ἔννοιαν τοῦ ἐπαίνου· προσεκτέα οὖν σοι ἐπί τι Ἀτομικὸν σύμβαμα ἐν ᾧ ἕτερος ἐπαινεῖν ἕτερον λέγεται. Θῶμεν οὖν τὸν Καῖον ἔν τινι συγγράμματι διηγεῖσθαι, ὅτι ὁ Τίτιος ἐστὶ σοφὸς, μέτριος, καταφανής, εὐσεβής, κτλ. ἐνταῦθα ὁ Καῖος ἐπαινεῖ τὸν Τίτιον.

„ Τοσαύτας τοιγαροῦν ποίησον ἐποπτικὰς κρίσεις, ὅσας περιστάσεις τὸ παρὸν χορηγήσει.

Α΄. Ὁ Καῖος διηγεῖται.

Β΄. Ὁ Καῖος διηγεῖται ἔν τινι συγγράμματι.

Γ΄. Ὁ Καῖος διηγεῖται ὅτι ὁ Τίτιος ἐστὶ σοφός.

Ε.Υ.Δ της Πτ. Π
ΙΩΑΝΝΙΝΑ 2006

Δ΄.

Δ΄. Ὁ Κάϊος διηγεῖται, ὅτι ὁ Τίτιος ἐςὶ μέτριος, εὔτακτος.

Ε΄. Ὁ Κάϊος διηγεῖται, ὅτι ὁ Τίτιος ἐςὶ καταφανής.

ς΄. Ὁ Κάϊος διηγεῖται, ὅτι ὁ Τίτιος ἐςὶν εὐσεβής.

„ Ἐντεῦθεν ἂν βουλομένῳ σοι γνῶναι τί ποτ᾽ ἐςὶ γενικῶς τὸ ἐπαινεῖν ἕτερον, εὐχερῶς
„ τόδε γενήσεται α. ὅτι πολλὰ τῷ συμβάσματι τῷδε πάρεισιν ἀλλότρια ϗ κατὰ
„ συμβεβηκός, μηδ᾽ ὁπωσοῦν τῷ ἐπαινεῖν ἀλλον ἀνήκοντα. β. Ὅτι τὰ ἀναγκαίως τῇ
„ ἐννοίᾳ τῇ ἐπαίνου ὑπεισερχόμενα, πολλοῖς, ἔτι μερικοῖς διορισμοῖς περιείληνται, δια-
„ ζευχθῆναι ἐκείνων ὀφείλοντα.

„ Ὅπως ἂν ξυνιέναι ἔχῃς τίνα ἐςὶν ἐνταῦθα τὰ ἀλλότρια ϗ κατὰ συμβεβηκός· ϗ τί-
„ νες οἱ μερικοὶ διορισμοί, εἰς μνήμην ἀνακάλεσον ἑτέραν περίςασιν, ἐν ᾗ ἔγνως ἐπαινεῖ-
„ σθαι παρ᾽ ἑτέρου τὸν ἕτερον. Θῶμεν ἂν τὸν γονέα τοῦ υἱοῦ παρόντος διηγεῖσθαι, ὅτι
„ ὁ αὐτοῦ παῖς ὑπερέχει τῇ ἀγχινοίᾳ, ϗ ὅτι ἐςὶν ὑπήκοος, ἐπιμελής, ϗ ποιητὴς ἄρι-
„ ςος· ἡ περίςασις αὕτη τὰς ἑπομένας σοι παρίςησι κρίσεις ἐποπτικάς.

Α΄. Ὁ πατὴρ διηγεῖται.

Β΄. Ὁ πατὴρ διηγεῖται παρόντος τοῦ υἱοῦ·

Γ΄. Ὁ πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς αὐτοῦ ὑπερέχει τῇ ἀγχινοίᾳ·

Δ΄. Ὁ πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς ἐςὶν ὑπήκοος·

Ε΄. Ὁ πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς ἐςὶν ἐπιμελής.

ς΄. Ὁ πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς ἐςὶν ποιητὴς ἄριςος.

„ Εἴπερ οὖν τὰς δύο ταύτας περιςάσεις παραβάλλεις ἀλλήλαις, κατανοήσεις α. τὸν
„ Κάϊον, β. τὸ σύγγραμμα τοῦ Καΐου· γ. τὸν Τίτιον, ἐν τῇ προτέρᾳ ἀτομικῇ περι-
„ ςάσει εἶναι ἀλλότρια μηδ᾽ ὁπωσοῦν τῇ τοῦ ἐπαίνου ἐννοίᾳ ἀνήκοντα, ὅτι ἐν τῇ ἑτέρᾳ
„ περιςάσει οὐ πάρεισιν· ὡσαύτως κατανοήσεις ἐν τῇ δευτέρᾳ περιςάσει, οὐκ ἀναγκαίως
„ παρεῖναι α. τὸν πατέρα· β. τὸν υἱὸν παρόντα γ. τὸν υἱὸν ὡρισμένως εἶναι ὑπήκοον,
„ ϗ ποιητὴν ἄριςον κτλ. Ἔνθεν τοι ταῦτα πάντα ὡς κατὰ συμβεβηκὸς ὄντα κατηγορού-
„ μενα τὴν γενικὴν τοῦ ἐπαίνου εἰς ὑπέρχοντα Ἔννοιαν, κατὰ τὸν β. κανόνα τοῦ (ΤΟΖ.)

„ Ἀλλὰ τὸ διηγεῖσθαι ἑκατέρᾳ τῇ περιςάσει ἐςὶ κοινόν, ἐπείπερ ἐν ἑκατέρᾳ διή-
„ γησίς ἐςι τελειοτήτων τῶν ἐν ἑκατέρᾳ μερικῶν διορισμῶν· ἡ γὰρ εὐσέβεια, ϗ ἡ
„ ἐπιμέλεια, ἡ σοφία, ϗ ἡ ὑπεροχή, ϗ τὰ λοιπὰ κατηγορούμενα, ἐςὶν γενικῷ
„ ὀνόματι τῶν τελειοτήτων ἐξαγγελόμενα, ἄγε τῶν μερικῶν διορισμῶν ἐλευθερωθῶ-
„ σιν. Ἐπείπερ οὖν τὸ διηγεῖσθαι ϗ αἱ τελειότητες κατηγορούμεναι ἐςὶ τῷ ἐπαίνῳ ὡ-
„ σαύτως ἀεὶ ἀνήκοντα, εἰκότως ταῦτα ὡς ἐσιώδη ἅτ᾽ ἦν προσδιδόμενα τῇ ἐπαίνου
„ λαμβάνεται (ΤΟΕ.) Ἐπεὶ δὲ τὰ προσδιδόμενα ϗ ἐσιώδη τοῦ ὁρισμοῦ ὀφείλει παρα-
„ λαμβάνεσθαι (ΡΝΘ.), πρόδηλον, ὅτι ἡ καθόλου διακεκριμμένη Ἔννοια, ἤτοι ὁ ὁρισ-
„ μὸς τοῦ ἐπαίνου οὕτω διαμορφοῦται.

„ Ἔπαινός ἐςι διήγησις τῶν τελειοτήτων, ϗ τὸ ἐπαινεῖν ἕτερον, οὐδὲν ἄλλο ἐςίν, εἰμὴ τὰς
„ τοῦ ἑτέρου τελειότητας διηγεῖσθαι. Ὅτε δὲ μία ϗ δευτέρα περίςασις οὐκ ἀπόχρη εἰς
„ κατάληψιν τῆς οἰκειότητος, ἢ ἀνοικειότητος, πλείους περιςάσεις κατ᾽ ἀρέσκειαν λαμβά-
„ νει χρεῶν· αἱ δὲ γυμνασίαι μιᾷ μόνῃ περιςάσει ἀρκεῖσθαι δύνανται· ὁ περίπυςος Βόλ-

„ φιος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ ϛιος ἐν τῇ Λατιν. Λογ. σελ. 492. κατὰ τοὺς προτεθέντας κανόνας, γενικὴν Ἔννοιαν
„ τοῦ κλέπτου ἀπὸ τῶν ὑστέρων ἐξάγει· καὶ ὁ περικλεὴς Σλοσσέριος τῷ αὐτῷ τρόπῳ ἐκ
„ μοναδικῆς περιστάσεως καθόλου Ἔννοιαν τῆς ἐλευθερίας εἰδοποιεῖ ἐν τῇ διαλέξει περὶ
„ γνησίας Ἐννοίας τῆς ἐλευθερίας ἐν Οὐϊτεμβέργᾳ· 1725.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΤΟΗ'.

Ὁρᾷς οὖν τανῦν τίνι τρόπῳ αἱ καθόλου διακεκριμέναι Ἔννοιαι, ἤτοι οἱ ὁρισμοὶ ἀπὸ τῶν ὑστέρων, ἢ διὰ τῆς πείρας διαμορφοῦσθαι εἰώθασιν. Εἰς τοῦτο δὲ εἴπερ τι ἄλλο ἡ ἀφαίρεσις καὶ ἡ ἐπανάληψις ἀπαιτεῖται, ὡς ἀνωτέρω ἔφθημεν ἀποδείξαντες (ΡΙΑ'.). Ἐπεὶ γὰρ ἐν τῷ διαμορφοῦν τὰς Ἐννοίας ἐκ τῶν ὑστέρων, οὕτω προβαίνομεν, ὥστε τὰ κατὰ συμβεβηκὸς ὄντα καὶ δυνάμενα μεταβάλλεσθαι, παραλείπει καὶ μὴ ἅμα ἐν τῇ θεωρίᾳ λαμβάνειν (ΤΟΖ'.) Ὅτε δὲ μὴ θεωροῦμεν τινὰ παραλείποντες, ἀφαιρεῖν λεγόμεθα ταῦτα ἀπὸ τῶν ἐννοημένων ἡμῖν, καὶ ἐν τῇ ἡμετέρᾳ θεωρίᾳ λαμβανομένων καὶ μὴ παραλειπομένων (ΡΙΑ'.) καταφανές ἐστι τὴν τέχνην τοῦ ἀφαιρεῖν ἐν ταῖς ἀπὸ τῶν ὑστέρων εἰδοποιηθησομέναις ἐννοίαις συμβάλλειν τὰ μάλιστα.

## ΤΟΘ'.

Νῦν ἤδη διασκεψόμεθα, τίνι λόγῳ διὰ τῆς πείρας, ἤτοι ἐκ τῶν ὑστέρων ἐπὶ τὰς καθόλου κρίσεις ἐρχόμεθα. Ἡ πεῖρα ὑποκείμενον ἔσχηκε τὰ καθ' ἕκαστα (ΤΝΒ'.) καὶ ἑπομένως αἱ ἐποπτικαὶ κρίσεις, αἱ τῇ πείρᾳ διαμορφούμεναι (ΤΟ'.) καθ' ἕκαστά εἰσι (ΤΟΒ'.), αὗται δὲ εἰ καθόλου γενέσθαι ὀφείλουσι προσεκτέον σοι, εἴγε τὸ κατηγορούμενον ἐν τῇ ἐποπτικῇ κρίσει προσδιδόμενον ἢ οὐσιῶδες τοῦ προσλαμβανομένου ἐστί· ὁσάκις γὰρ τὸ κατηγορούμενον προσδιδόμενον οὖ τοῦ προσλαμβανομένου καὶ ἐκ τῆς οὐσίας ἤτοι φύσεως τοῦ ὑποκειμένου ἐξήρτηται· τοσάκις ἡ ἀπόφανσις καὶ ἑπομένως ἡ κρίσις ἔσται καθόλου (ΣΘ'.)· Ἐπεὶ δὲ διὰ τῆς πείρας ἐκεῖνα εἶναι τοῦ προσλαμβανομένου προσδιδόμενα, ἢ οὐσιώδη παρατηροῦμεν τὰ ἀεὶ ὡσαύτως τῷ προσλαμβανομένῳ πράγματι ἐνυπάρχοντα, καὶ σωζομένου τοῦ πράγματος ἀπ' ἐκείνου ἀφαιρεῖσθαι οὐ δύναται. (ΤΟΔ'.) Ἐπὶ τὴν καθόλου ἐποπτικὴν κρίσιν ἀφίξῃ διὰ τῆς πείρας

παρα-

Ε. ΚΑ τηΕΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παρατηρῶν τὸ τῆς ἐποπτικῆς κρίσεως κατηγορήμενον ἀεὶ ὡσαύτως τῷ αὐτῷ ἐνυπάρχειν, καὶ ἀπ᾽ ἐκείνου οὐκ ἐξεῖναι χωρίζεσθαι.

„ *Παρ. χάρ.* Διὰ τῆς πείρας δηλοῦται τὴν θερμότητα τοῦ πυρὸς ὑπάρχειν ὡς προσδιδόμε-
„ νον (ΤΟΕ'.), ἡ τοίνυν ἀπόφανσις τὸ πῦρ ἐςὶ θερμὸν καθόλου ἐςί. τῇ πείρᾳ ἐςὶ κατά-
„ δηλον τὸν κηρὸν ἐφ᾽ ὅτε εἶναι ὑγρὸν, ἐπεὶ δὲ τὸ ὑγρὸν εἶναι τῷ κηρῷ οὐκ ἀεὶ ᾗ ὡσαύ-
„ τως ἐνυπάρχει, ᾗ ἑπομένως εἰς τὰ συμβεβηκότα, ἤτοι τρόπους τοῦ κηροῦ ἀνακτέον
„ ἐςὶ, (ΤΟΔ'.) Οὐ δύναται ἐντεῦθεν κρίσιν ἤτοι πρότασιν καθόλου ἐπενεγκεῖν, πᾶς
„ κηρὸς ἐςὶν ὑγρός. Ὅρα τὰ ἀνωτέρω εἰρημένα περὶ τῆς τῶν μερικῶν προτάσεων εἰς
„ καθόλου μεταβολῆς (ΣΙϚ'.)

## ΤΠ'.

Ὁ Φιλόσοφος ὀφείλει τὰς αἰτίας καὶ τοὺς λόγους τῶν πραγμάτων ἐπιγινώσκειν (ΚΒ'.)· ἐν τοῖς μάλιςα οὖν συμβάλλει τὸ εἰδέναι τὸν τρόπον, καθ᾽ ὃν διὰ τῆς πείρας ἀνιχνεύεσθαι δυνατὸν, εἴπερ τὸ ἕτερον τοῦ ἑτέρου αἰτία ἐςί· σημειωτέον οὖν ἐνταῦθα τὰς ἑπομένας θέσεις.

Α'. Εἴπερ ἐπὶ τοῦ ἀντικειμένου Α'. ὡς τὰ μάλιςα τῷ ἀντικειμένῳ Β'. συναπτομένου μεταβολή τις παρατηρεῖται ὁ ἀποχρῶν λόγος τῆς ἐν τῷ Α'. Συμβαινούσης μεταβολῆς εἰκότως ἐν τῷ β'. ἐπιζητεῖται, ὥσθ᾽ οὕτω τὸ ἀντικείμενον Β'. τῆς ἐν τῷ Α'. ἐπακολουθούσης μεταβολῆς ὀρθῶς αἰτίαν καλεῖσθαι.

Β'. Ἐκ τοῦ παρατηρῆσαί τινα ἀείποτε συνυπάρχειν, εἴτουν ἀλλήλοις συνέπεσθαι, οὐ παραχρῆμα ἐποίσεις· ἄρα, θάτερον τοῦ ἑτέρου αἰτία ἐςί· παραδείγμασι τὰς θέσεις διασαφήσομεν.

„ *Παρατηρῶν τὸν κηρὸν πρότερον σκληρὸν ὄντα, μαλακὸν γίνεσθαί τε ᾗ τήκεσθαι, τοῖς*
„ *τοῦ Ἡλίου ἀκτῖσιν ἐκτεθειμένον, ὀρθῶς τὴν τοῦ Ἡλίου θερμότητα τῆς τοῦ κηροῦ τήξεως*
„ *αἰτίαν ὑπολαμβάνεις. Τεθέντος δ᾽ ἅμα φαινομένου Κομήτη πόλεμον γίνεσθαι, ἢ τού-*
„ *τῳ τὸν κομήτην ἐπακολουθεῖν, ἀφ᾽ οἱασδηποτοῦν συνυπάρξεως ἢ ἐπακολουθήσεως τοῦ πο-*
„ *λέμου, οὔπω συναγαγεῖν δύνασαι· ἄρα ὁ Κομήτης αἰτία πολέμου.„*



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΤΠΑ΄.

Ἐξ ἁπάντων τούτων δηλοῦται, τὰς ἐκ τῆς ὀρθῶς γινομένης πείρας εἰδοποιουμένας προτάσεις, εἶναι βεβαίας.

Δεικν. Ὁποιασδήποτουν προτάσεις διὰ τῆς πείρας διαμορφοῦμεν ἐν ταύταις τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀνήκειν μάλιστα παρατηροῦμεν (ΤΞΘ΄.)· ἐν ὁποιαισδηποτοῦν προτάσεσι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀνήκειν παρατηροῦμεν, ἀληθεῖς ταύτας γινώσκομεν (ΤΙΗ΄.) εἰ ὁποιασδήποτε προτάσεις ἀληθεῖς εἶναι γινώσκομεν, ταύτας ἢ δύνασθαι εἶναι ψευδεῖς, οἴδαμεν (κατὰ τὴν ἀρχὴν τῆς Ὀντολογ.)· ὁποιασδήποτε δὲ προτάσεις οὕτως ἀληθεῖς εἶναι οἴδαμεν, ὥστε τὸ ἐκείναις ἀντικείμενον, τὸ ψεῦδος φημὶ χώραν ἔχειν μὴ δύνασθαι· κατανοοῦμεν βεβαίως αὗται ἡμῖν εἰσὶν ἀληθεῖς (ΤΜΗ΄.), ἄρα αἱ προτάσεις αἱ διὰ τῆς πείρας ὀρθῶς γινομένης εἰδοποιούμεναι ἡμῖν βέβαιαι εἰσίν.

„ Ὁ αὐτὸς ἐστὶ λόγος κατὰ τῶν προτάσεων, ἅσπερ διὰ τῆς πείρας ψευδεῖς εἶναι οἴδαμεν. „ Ταύτας γὰρ οὐκ ἔξεστιν ἅμα ὑπολαμβάνειν ὡς ἀληθεῖς· ὅθεν ἕπεται εἶναι ἡμῖν βεβαίως ψευδεῖς. Π. χ. τῷ πυρὶ ἀνήκει τὴν θερμότητα διὰ τῆς πείρας δηλοῦται· ἀληθῆ οὖν εἶναι πρότασιν κατανοοῦμεν τὴν τὸ πῦρ ἐστὶ θερμὸν λέγουσαν, καὶ ἑπομένως „ ἡ αὐτὴ ἐστὶ ἡμῖν βέβαιος.

## ΤΠΒ΄.

Ὅ, τιδήποτε τοιγαροῦν τῇ κατὰ τοὺς ἀνωτέρω παραδοθέντας κανόνας γινομένῃ αἰσθάνσει ἀνήκει, βέβαιον ἐστί (ΤΠΑ΄.)

## ΤΠΓ΄.

Ἐκ τούτου ἔτι δηλοῦται τοὺς ὁρισμοὺς τοὺς ἐκ τῆς πείρας καὶ συγκομιδῆς τῶν Ἀτομικῶν περιστάσεων κατὰ τοὺς ἀνωτέρω (ΤΟΖ΄.) παραδοθέντας κανόνας, εἰδοποιουμένους δεῖν εἶναι βεβαίους.

Δεικν. Ἐπεὶ γὰρ τὰ ἐκ τῆς πείρας γινωσκόμενα βέβαια ἐστὶ (ΤΠΕ΄.) ἕπεται τοὺς ἐκ τῆς κατὰ τοὺς ἀνωτέρω παραδοθέντας κανόνας γιγνομένης πεί-

ρας

ρας ὀρθῶς διαμορφημένες ὁρισμὲς εἶναι εἰσέτι καὶ βεβαίες· ἐκ γὰρ τῶ βεβαίε ὀυκ ἔσθ' ὅπως μὴ ὀρθῶς ἐξέρχεσθαι βέβαιον.

## ΤΠΔ΄.

**Τὰ ἀξιώματα τοιγαρῦν, ϗ τὰ αἰτήματα ὡσαύτως βέβαια ἔιναι ἐκ τέτων ἐξέςαι κατανοεῖσθαι.**

Δεἰκν. Ἐπεὶ γὰρ τὰ ἀξιώματα καὶ τὰ αἰτήματα προτάσεις εἰσὶν ἀπὸ μοναδικῦ ὁρισμῦ ἀμέσως προῤῥέεσαι (ΣΚΒ΄. ΣΚΓ΄.) καὶ ἐν αὐταῖς παραχρῆμα τῶν ὅρων καταληφθέντων δηλῦται τὸ κατηγορήμενον τῷ ὑποκειμένῳ ἀνήκειν, ἢ μὴ, οἱ δ' ὁρισμοὶ εἰσὶ βέβαιοι (ΤΠΓ΄.), δῆλον ὅτι τὰ ἀξιώματα κτλ΄.

## ΤΠΕ΄.

Ταῦτα μὲν ἦν περὶ τῦ τῆς ἀφίξεως εἰς τὴν βεβαιότητα πρώτη ἐρείσματος τῆς πείρας ἀμέλει, ἤτοι τῆς ἐκ τῶν ὑςέρων γνώσεως, καθ' ἣν διὰ τῆς αἰσθήσεως τῷ ὑποκειμένῳ ἀνήκειν τὸ κατηγορύμενον παρατηρῦμεν, ὥςε περὶ τῆς τῦ πράγματος ἀληθείας ἀμφιβάλλειν μὴ δύνασθαι (ΤΠΑ΄.) ἡ δ' ἑτέρα ὁδὸς ἡ εἰς τὴν βεβαίαν ἀλήθειαν ἐπάγυσα ὁ λόγος ἐςὶν, ὅςις ἐπείπερ ὐδὲν ἄλλο ἐςὶν, εἰμὴ δυνάμις τῦ διακεκριμένως γινώσκειν τὴν τῶν καθόλυ ἀληθειῶν συνάφειαν (ΙΓ΄.) ῥᾷςα κατανοεῖται, διὰ τῦ λόγυ ἤτοι τῆς ἐκ τῶν προτέρων δείξεως εἰς τὴν βεβαιότητα ἡμᾶς ἀφικνεῖσθαι, ὅτε τὴν πρότασιν, ἧς τινος τὴν βεβαιότητα ἀξιῦμεν κατέχειν ταῖς ἑτέραις προτάσεσιν ὡς ἀρχαῖς ἀναμφιλέκτοις συνάπτομεν, ὡς ἂν ἡ τῦ ἐν τῇ προτάσει τῇ ἡμῖν βεβαίᾳ εἶναι ὀφειλύσῃ, ὑποκειμένυ καὶ κατηγορυμένυ συναφεια μαλιςα καθορᾶται.

„ *Παρ. χάρ.* Θῶμεν ἐθέλειν σε γνῶναι, ἂν ἡ πρότασις αὕτη, ἡ ἀνθρωπίνη ψυχὴ ἐςὶν
„ ἀθάνατος, βεβαίως ἐςὶν ἀληθής· ὐκ ἂν ἤδη ἐπὶ τὴν αἴσθησιν ϗ τὴν πεῖραν κατα-
„ φυγεῖν δύνασαι, ἀλλὰ τὴν βεβαιότητα τῆς προτάσεως ταύτης ἐκ τῶν προτέρων γι-
„ νώσκειν χρεών. Τυτέςιν ὀφείλεις αὐτὴν ἑτέραις προτάσεσιν, ὥσπερ οἰκείαις ἀναμφι-
„ λέκτοις συνάπτειν ἀρχαῖς, ὥςε ὀρθῶς διανοήμενον ἐξ ἑτέρων βεβαίων προτάσεων πα-
„ ράγειν αὐτήν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΤΠϚ΄.

Ὁσάκις πρότασίν τινα ὡς συμπέρασμα ἐκ προκειμένων βεβαίων καὶ ἀναμφιβόλων ὀρθῶς συλλογιζόμενοι παράγομεν, τοσάκις τὴν πρότασιν δεικνύειν λεγόμεθα, ὥστε μηδὲν ἄλλο τὴν δεῖξιν εἶναι, εἰμὴ σύνδεσμον, ἢ συνάφειαν διανοημάτων, ἐν οἷς ἐχ ἑτέρα προκειμένη, εἰμὴ βεβαία παραλαμβάνεται.

„ Τὰ δὲ διανοήματα αὐτ' ἐν συλλογισμοί, λέγονται συνδεδεμένοι, τῷ ἐν τῷ ἀνωτέρῳ „ συλλογισμῷ συμπεράσματος, ἀεὶ γινομένε προκειμένης τῷ ἑπομένῳ· παραδείγματα „ τῆς συναφείας ταύτης ὅσον ἐδέπω ἐπάξομεν.

## ΤΠΖ΄.

Αἱ βέβαιαι αὗται προκείμεναι, ἐξ ὧν τὸ συμπέρασμα, ἤτοι ἡ ἀποδειχθησομένη παράγεται πρότασις, καλῦνται ἀρχαὶ τῦ ἀποδεικνύειν.

## ΤΠΗ΄.

Ἐξ ἧ δηλῦται ὅτι ἐν ἁπάσῃ δείξει εἰς δύο ταῦτα προσέχειν ὀφείλεται. α΄. εἰς τὰς τῆ ἀποδεικνύειν ἀρχὰς β΄. εἰς τὴν συνάφειαν τῆ συμπεράσματος πρὸς τὰς ἀρχάς· τὸ α΄. ἀπαιτύμενον, ὑλικὸν τῆς ἀποδείξεως, καὶ τὸ β΄. εἰδικὸν τῆς ἀποδείξεως λέγομεν.

## ΤΠΘ΄.

**Ἐπὶ τὰς ἀρχὰς τῆς ἀποδείξεως εἰκότως ἀνάγομεν τὰς πείρας, τὲς ὁρισμὲς, τὰ ἀξιώματα, ϗ τὰ αἰτήματα.**

Δείκν. Ἐπεὶ γὰρ αἱ πεῖραι βέβαιοί εἰσι (ΤΠΑ΄.) ὡσαύτως καὶ οἱ ἐκ τῆς πείρας ὀρθῶς εἰδοποιέμενοι ὁρισμοὶ (ΤΠΓ΄.) ἐδὲν δ' ἧττον τὰ ἀξιώματα



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Ε.Π.Κ.Π.Ε.Ι. ΙΩΑΝΝΙΝΑ 2006

καὶ τὰ αἰτήματα βεβαίως ἔχει (ΤΠΔ΄.) εὔδηλον, ὅτι αἱ πεῖραι, οἱ ὁρισμοὶ, τά τε ἀξιώματα καὶ αἰτήματα, βεβαίως ἔχει (ΤΠΔ΄.) φανερὸν, ὅτι αἱ πεῖραι, οἱ ὁρισμοὶ. τά τε ἀξιώματα καὶ αἰτήματα δύνανται ἀντὶ προκειμένων βεβαίων λαμβάνεσθαι· αἱ δὲ βέβαιαι προκείμεναι, ἐξ ὧν ἡ ἀποδειχθησομένη πρότασις ὀρθῶς καὶ κατὰ κανόνα παράγεται, ἀρχαὶ τοῦ ἀποδεικνύειν καλοῦνται (ΤΠΖ΄.)· πρόδηλον ἄρα, τὰς πείρας, τοὺς ὁρισμοὺς τά τε ἀξιώματα καὶ αἰτήματα ὀρθῶς ἀνάγεσθαι εἰς τὰς τοῦ ἀποδεικνύειν ἀρχάς.

„ Ἔνθεν τοι ὁ περίπυστος Βόλφιος ἐν τῇ Λατιν. Λογ. σελ. 397. ὁρίζεται τὴν ἀπόδει-
„ ξιν τοιαύτην εἶναι ἐμπίδωσιν, καθ᾽ ἣν ἐν τοῖς συλλογισμοῖς τοῖς πρὸς ἀλλήλους
„ συνδεδεμένοις οὐχ ἑτέραις χρώμεθα προκειμέναις, ἢ καὶ ὁρισμοῖς, πείραις ἀναντιῤῥή-
„ τοις, ἀξιώμασι, καὶ προτάσεσιν πρότερον ἀποδεδειγμέναις.

## ΤΥ.

Ἐνθεῦθεν ὁρᾷς, οὐκ ἀποδεικνύειν αὐτίκα τὰ ἑαυτῷ καθομολογημένα, τὸν ταῦτα ἐξ ἀρχῶν ἀβεβαίων καὶ ἀμφιβόλων παράγοντα, ὥσθ᾽ οὕτω τὴν ὁποιανδηποτοῦν ἐμπίδωσιν (α) τῆς προτάσεως οὐ συγχέειν δεῖν τῇ τῆς αὐτῆς ἀποδείξει, εἰς ἣν βέβαιοι ἀπαιτοῦνται ἀρχαὶ, ὧν περὶ τῆς ἀληθείας ἀμφιβάλλειν οὐκ ἔξεστιν. (ΤΠϚ΄.)

## ΤΥΑ.

Ὁ τὴν ἀποδειχθησομένην πρότασιν, ἤτοι συμπέρασμα ἐξ ὁρισμῶν καὶ ἀξιωμάτων παράγων, ἐκ τῶν προτέρων ταύτην δεικνύειν λέγεται.

„ Οὕτω παρ. χάρ. Ἐκ τῶν προτέρων ἀποδεικνύειν ἐθέλοντί σοι, ὅτι ὁ Θεὸς ἐθέλει τὸ
„ βέλτιστον, ἅπασα ἡ σὴ δεῖξις τοῖσδε τοῖς ὁρισμοῖς καὶ τοῖς ἀξιώμασι στηριχθή-
„ σεται.

Ὁρισ-

(α) Ἐμπίδωσις καὶ δεῖξις ἀλλήλων διενηνόχατον, ὡς γένος καὶ εἶδος. Ἐμπίδωσις γὰρ περιεκτικωτέρα δείξεως· ὅθεν δεῖξις ἡ ἐκ βεβαίων ἀρχῶν παραγομένη. Ἐμπίδωσις δὲ καὶ ἀρχαῖς ἀβεβαίοις δύναται γίνεσθαι· ὅταν δὲ ἀρχαῖς βεβαίοις γίνεται, τότε δεῖξις ἐστί.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ο'ρισμὸς Α'. Ο' Θεὸς ἐςὶν ὂν ἐντελέςατον.

Α'ξίωμα Α'. Τὸ ἐντελέςατον ὂν ἔχειν ὀφείλει ἐντελεςάτην θέλησιν.

Ο'ρισμὸς Β'. Ε'ντελεςάτη θέλησίς ἐςιν, ἡ τὸ βέλτιςον μόνον ἐθέλυσα.

Α'ξίωμα Β'. Ο' ἐντελεςάτην ἔχων τὴν θέλησιν μόνον ἐθέλει τὸ ἄριςον.

Ε'κ τύτων δὴ τῶν ὁρισμῶν καὶ ἀξιωμάτων ἡ πρότασις αὕτη ἐκ τῶν προτέρων ἀποδειχθήσεται.

Πᾶν ἐντελέςατον ὂν, ἐντελεςάτην ἔσχηκε θέλησιν (κατὰ τὸ Α'. ἀξί.)

Α'λλ' ὁ Θεὸς ἐντελέςατον ὂν ἐςιν (κατὰ τὸν Α'. ὁρισ.)

Α'ρα ὁ Θεὸς ἐντελεςάτην ἔσχηκε θέλησιν.

Πᾶν τὸ ἔχον ἐντελεςάτην τὴν θέλησιν, ἐθέλει τὸ ἄριςον (κατὰ τὸ Β'. ἀξι.)

Α'λλ' ὁ Θεὸς ἐντελεςάτην ἔχει τὴν θέλησιν (κατὰ τὸν ἀνωτέρω συλλογισμόν.)

Α'ρα ὁ Θεὸς, ἐθέλει τὸ ἄριςον.

Ε'κ τῶν προτέρων ἀπόδειξις κἀκείνη ἡ ἐμπέδωσις λέγεται, καθ' ἣν τὸ ἀποτέλεσμα ἐκ τῆς ἑαυτῦ αἰτίας ἀποδεικνύω.

## ΤΥΒ'.

Ο'τε πρότασιν ἐξ ἀναμφιλέκτυ πείρας ἀποδεικνύω, ἡ δεῖξις ἐκ τῶν ὑςέρων ἀκύει.

„ Οὕτω παρ. χάρ. Οἱ τὸ ἐνδεχόμενον τῦ κόσμυ δεικνύειν βυλόμενοι, ἔτι δὲ καὶ οἱ τὴν πρό-
„ τασιν ταύτην, ἀδύνατον ἐςὶ τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι· ἐπὶ τὴν πεῖραν ἀνακα-
„ λεῖν εἰώθασι, τυτέςιν ἐκ τῶν ὑςέρων ἀποδεικνύειν. Ε'κ τῶν ὑςέρων γὰρ ἡ δεῖξις
„ λέγεται ὅτε ἐκ τῦ ἀποτελέσματος τὴν αἰτίαν δεικνύω. Ο'τε παρ. χάρ. τὴν ὕ-
„ παρξιν τῦ Θεῦ ἐκ τῆς τῦ κόσμυ ἀποδεικνύομεν, ἐκ τῶν ὑςέρων ταύτην ἀποδεικνύο-
„ μεν, ὅτι ἐκ τῦ ἀποτελέσματος τὴν αἰτίαν συνάγομεν.

## ΤΥΓ'.

Η' δεῖξις ἔτι διαιρεῖται εἰς Δεικτικὴν, εἴτ' ὖν εὐθεῖαν, καὶ εἰς Α'παγωγικὴν, ἤτοι πλαγίαν. Ο'ρθὴ δεῖξις ἐςὶν ἡ μέχρι τέλε ἀναπτυχθεῖσα.

Ο'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὁ Βόλφιος ταύτην ἐν τῇ Λατινικῇ Λογ. σελ. 142. οὕτως ὁρίζεται· δεῖξις εὐθεῖα, ἢ Δεικτική ἐστιν, ἐν ᾗ ἐκ τῆς τοῦ ὑποκειμένου Ἐννοίας τὸ κατηγορούμενον ἀνήκειν τῷ ὑποκειμένῳ συνάγεται.

„ *Τοιαύτη δεῖξις ἐστὶν ἡ ἐν τῷ (ΤΥΑ.) ὅπου ἐκ τῆς τοῦ Θεοῦ Ἐννοίας διακεκριμένως ἀναπτυχθείσης τὸ θέλειν τὸ βέλτιστον τῷ Θεῷ ἀνήκειν συνήγομεν.*

## ΤΥΔ.

Δεῖξις πλαγία, ἢ Ἀπαγωγική ἐστι, καθ' ἣν τὴν πρότασιν τὴν τῷ ἀποδειχθέντι ἡμῖν συμπεράσματι ἀντικειμένην ὡς ἀληθῆ λαμβάνομεν, κἀντεῦθεν ἄτοπόν τι, ἢ ψευδὲς συνάγομεν ἀντιφάσκον τῇ ἀποδειχθείσῃ προτάσει.

„ *Ἡ δεῖξις αὕτη λέγεται ἔτι, Ἀπαγωγὴ εἰς ἄτοπον ἢ ἀδύνατον. Τοιαύτη ἐστὶν ἡ ἀνωτέρω δοθεῖσα (ΣΞΘ.) Ἔνθα πλαγίως ἀποδεικνύομεν τὴν πρότασιν ταύτην ἐν τῷ α. σχήματι ἡ μείζων ἀείποτε ἐστὶ καθόλου. Σαφηνείας δὲ χάριν καὶ τόδε ἐπάξομεν τὸ παράδειγμα πλαγίως· παρ. χάρ. Ἀποδεῖξαι θέλων ταύτην τὴν πρότασιν οὐδὲν ἑαυτὸ παραγαγεῖν δύναται, τὴν ἀντικειμένην αὐτῇ πρότασιν λαμβάνεις ὡς ἀληθῆ, καὶ ἐκ ταύτης ἄτοπόν τι παράγεις. Ἔστι δὲ ἀντικειμένη πρότασις αὕτη „ Τὶ παραγαγεῖν ἑαυτὸ δύναται.“ Ἡ πλαγία οὖν δεῖξις οὕτως ἀποτελεῖται. Θῶμεν παράγειν τὶ ἑαυτό. Τοῦτο δὴ ὀφείλει ἅμα εἶναι, καὶ μὴ εἶναι· εἶναι μὲν, ὅτι οὐκ ἂν εἶχεν ἄλλως παραγαγεῖν ἑαυτό· μὴ εἶναι δὲ ὅτι δὴ ἑαυτὸ παράγει, καὶ χαρίζεται ὕπαρξιν. Ἐπειδὴ ἄτοπον καὶ ἀδύνατόν ἐστιν εἶναι τὶ ἅμα καὶ μὴ εἶναι (κατὰ τὴν ἀρχ. τῆς ἀντιφάσεως) ἄτοπον ἔτι, καὶ ἀδύνατον τὸ παράγειν τὶ ἑαυτό. Ἀληθὴς οὖν ἔσται ἡ ἀντικειμένη πρότασις, οὐδὲν ἑαυτὸ παραγαγεῖν δύναται. Οἶδα μέν τινας τῷ τοιούτῳ τοῦ δεικνύειν μικρὸν ἐνεργείας ἀποδιδόντας, καὶ δραστικότητος, ὡς δ' ἔγωγε ὑπολήψεως ἔχω οὐκ ὀλίγη τούτῳ πρόσεστι δύναμις. Ἐπειδὴ γὰρ ἐν ταύτῃ τῇ πλαγίᾳ δείξει δείκνυται τὸ ψευδὲς καὶ ἄτοπον εἶναι τὴν τῷ ἀποδειχθέντι συμπεράσματι ἀντικειμένην πρότασιν, ἐπάναγκές ἐστι τὴν εἰς δεῖξιν παραληφθεῖσαν πρότασιν ὀφείλειν εἶναι ἀληθῆ.*

## ΤΥΕ.

Ἐπείπερ ἐν ἁπάσῃ δείξει τὸ ἀποδειχθησόμενον συμπέρασμα, διὰ τοῦ τῶν Συλλογισμῶν πρὸς τὰς οἰκείας προκειμένας ἤτοι ἀρχὰς ἀλυσιδωτοῦ συν-

δέσμου

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δεσμοῦ ὀρθῶς ὀφείλει συνάπτεσθαι (ΣΥΕ΄.) καταμανθάνομεν, ὅτι ὁ σύνδεσμος οὗτος, ἢ οὕτως ἐκτελεῖται, ὥστε ἀπὸ τοῦ ἀποδειχθησομένου ἀναβαίνειν, ἢ ἀπὸ τῶν ἀρχῶν καὶ ἀναμφιβόλων προκειμένων, ἐπὶ τὸ ἀποδειχθησόμενον συμπέρασμα ἤτουν πρότασιν καταβαίνειν. Ὧν ὁ μὲν α΄. τοῦ δεικνύειν τρόπος ἀναλυτικὸς λέγεται, ἐν ᾧπερ ἀναλύομεν τὸ συμπέρασμα εἰς τὰς οἰκείας πρώτας ἀρχάς· ὁ δὲ β΄. συνθετικὸς, ἐν ᾧπερ ἐκ τῶν ἁπλουστάτων καὶ πρώτων ἀρχῶν, συντίθεται καὶ ἀνακύπτει τὸ ἀποδειχθησόμενον συμπέρασμα, ἤτοι πρότασις.

„ Λάβωμεν παρ. χάρ. τὴν πρότασιν ταύτην „ ὁ Θεὸς ἀμοιρεῖ παθῶν· ταύτην οὖν ἀνα-
„ λυτικῶς ἀποδείξομεν, ὥστε ἀπὸ τοῦ ἀποδειχθησομένου συμπεράσματος ἢ προτάσεως
„ διὰ ἀλυσιδωτοῦ συνδέσμου τῶν διανοημάτων ἐνέρχεσθαι καὶ προβαίνειν, μέχρι τῶν πρώ-
„ των ἀρχῶν, ἤτοι τῶν Ὁρισμῶν καὶ ἀξιωμάτων, οἷς τισιν ἡ ἀποδειχθησομένη ἐρείδε-
„ ται πρότασις.

Α΄. Πᾶν, ὅ, τι ὀρέξεως ἀμοιρεῖ αἰσθητικῆς, παθῶν ἀμοιρεῖ (κατὰ τὸν Ὁρισμ. τῶν παθῶν.)

Ἀλλ᾽ ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ.

Ἄρα, ὁ Θεὸς παθῶν ἀμοιρεῖ.

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Β΄. Πᾶν ὅ, τι συγκεχυμένων παραστάσεων ἀμοιρεῖ, αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ (κατὰ τὸν ὁρισμ. τῆς αἰσθητ. ὀρέξεως.)

Ἀλλ᾽ ὁ Θεὸς συγκεχυμένων παραστάσεων ἀμοιρεῖ.

Ἄρα ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ.

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Γ΄. Πᾶν ὅ, τι μάλιστα διακεκριμένως πάντα ἑαυτῷ παριστᾷ, συγκεχυμένης παραστάσεως ἀμοιρεῖ (ἡ πρότασις αὕτη ἐστὶν ἀξίωμα.)

Ἀλλ᾽ ὁ Θεὸς μάλιστα διακεκριμένως πάντα ἑαυτῷ παριστᾷ,

Ἄρα ὁ Θεὸς συγκεχυμένων παραστάσεων ἀμοιρεῖ.

Ἐμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Δ΄. Πᾶν τὸ ἔχον ἐντελέςατον νοῦν, μάλιςα διακεκριμένως πάντα ἑ-αυτῷ παριςᾷ (κατὰ τὸν ὁρισμ. τοῦ ἐντελεςάτου νοός.)

Ἀλλ᾽ ὁ Θεὸς ἔσχηκεν ἐντελέςατον νοῦν.

Ἄρα ὁ Θεὸς μάλιςα εὐκρινέςατα πάντα ἑαυτῷ παριςᾷ.

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Ε΄. Πᾶν τὸ ἐντελέςατον ὄν, ἐντελέςατον ἔσχηκε νοῦν (ἡ πρότασις αὕτη ἐςὶν ἀξίωμα.)

Ἀλλ. Ὁ Θεὸς ἐςὶν ἐντελέςατον ὄν (κατὰ τὸν ὁρισμ. τοῦ Θεοῦ.)

Ἄρα, ὁ Θεὸς ἐντελέςατον ἔσχηκε νοῦν.

„ Αὕτη ἡ δεῖξις ἀναλυτικὴ δεῖξις ταυτησὶ τῆς προτάσεως „ ὁ Θεὸς παθῶν ἀμοιρεῖ· ἀπὸ „ γὰρ τῆς ἀποδειχθησομένης προτάσεως συμπεράσματος οὔσης τοῦ πρώτου Συλλογισ„ μοῦ, προέβημεν ἐπὶ τὰς ἀρχάς, τοὺς Συλλογισμοὺς συνδέοντες ἀλυσιδωτῶς, ὥςε αἰ„ τὴν ἐλάττονα τοῦ ἡγουμένου συμπέρασμα γίνεσθαι τοῦ ἑπομένου.

„ Τὴν αὐτὴν πρότασιν συνθετικῶς ἀποδεικνύειν βουλόμενος, ἐκ τῶν ἀρχῶν, ἀμέλει τῶν „ Ὁρισμῶν καὶ Ἀξιωμάτων μέχρι τοῦ ἀποδειχθησομένου συμπεράσματος καταβαίνεις διὰ „ νοήμασιν ἀλυσιδωτοῖς, τοῦ συμπεράσματος τοῦ προτέρου ἀεὶ ὀφείλοντος ἐλάττονα „ γίνεσθαι τοῦ μετ᾽ αὐτὸν Συλλογισμοῦ τὸν ἑπόμενον τρόπον.

Α΄. Πᾶν ἐντελέςατον ὄν, νοῦν ἔσχηκεν ἐντελέςατον (ἡ πρότασις ἐςὶ ἀξιωματική.)

Ἀλλ. Ὁ Θεὸς ἐςὶν ὂν ἐντελέςατον (κατὰ τὸν ὁρισμ. τοῦ Θεοῦ.)

Ἄρα, ὁ Θεὸς ἔσχηκε νοῦν ἐντελέςατον.

Β΄. Πᾶν τὸ ἔχον ἐντελέςατον νοῦν μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ (κατὰ τὸν ὁρισμὸν τοῦ ἐντελεςάτου νοός.)

Ἀλλ᾽ ὁ Θεὸς ἔσχηκεν ἐντελέςατον νοῦν (κατὰ τὸν α΄. συλλογ.)

Ἄρα ὁ Θεὸς μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ.

Γ΄. Πᾶν ὅ, τι μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ, παρασάσεων συγκεχυμένων ἀμοιρεῖ (ἐςὶν ἀξίωμα.)

Ἀλλ᾽ ὁ Θεὸς μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ (κατὰ τὸν β΄. συλλ.)



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἄρα ὁ Θεὸς συγκεχυμένων παραστάσεων ἀμοιρεῖ.

Δ΄. Πᾶν τὸ ἀμοιροῦν συγκεχυμένων παραστάσεων, ἀμοιρεῖ ὀρέξεως αἰσθητικῆς (κατὰ τὸν ὁρισ. τῆς αἰσθητικ. ὀρέξ.)

Ἀλλ᾽ ὁ Θεὸς συγκεχυμένων παραστάσεων ἀμοιρεῖ (κατὰ τὸν γ΄. συλλ.)

Ἄρα ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ.

Ε΄. Πᾶν τὸ αἰσθητικῆς ὀρέξεως ἀμοιροῦν, παθῶν ἀμοιρεῖ (κατὰ τὸν ὁρισμ. τῶν παθῶν.)

Ἀλλ᾽ ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ (κατὰ τὸν δ΄. συλλογ.)

Ἄρα, ὁ Θεὸς παθῶν ἀμοιρεῖ.

## ΤΥϚ΄.

Ἐκ τούτων ὁρᾷς τὴν τῶν Συλλογισμῶν χρῆσιν ἐν τῷ δεικνύειν ἀναπόφευκτον εἶναι.

Δείκν. Ἐπεὶ γὰρ πᾶσα δεῖξις διὰ συνεχοῦς τῶν Συλλογισμῶν ἁλυσιδωτοῦ συνδέσμου ἀποτελεῖται (ΤΞΗ΄.), πρόδηλον τὴν τῶν Συλλογισμῶν χρῆσιν ἐν τῷ δεικνύειν εἶναι ἀνοικονόμητον.

„ Οἱ τὴν τοῦ δεικνύειν ἕξιν ἑαυτοῖς περιποιησάμενοι, οὕτω πολλάκις δεικνύουσι πρότασίν τινα, ὥστε μηδένα Συλλογισμὸν ἐν τῷ νῷ διαμορφοῦν φαίνεσθαι, καὶ τὰς ἐνεργείας ἁπάσας, ἃς ὁ νοῦς ἐνεργεῖ μὴ κατὰ μέρος ἑαυτοῖς συνειδέναι. Καίτοι δὲ τοὺς περὶ τὸ δεικνύειν ἐξησκημένους πολλάκις μίαν καὶ ἑτέραν τῶν προτάσεων τῷ νῷ κατέχοντας, μήτε ῥήμασι ταύτην ἐκτιθεμένους, πάντα γε μὴν διὰ Συλλογισμῶν ἀποδεικνύειν αὐτοὺς τῷ ὄντι δηλοῦται τοῖς τὴν δεῖξιν αὐτῶν ἀναλύουσιν. Ἐν τοῖς τοῦ περιπύστου Βολφίου παρ. χάρ συγγράμ. πάνυ ἐλαχίστας εὑρίσκεσθαι δείξεις ὑποτοπάσθαι τοῖς συλλογιστικοῖς συνᾳδούσας κανόσιν. Ἀλλ᾽ ἡ τῶν δείξεων τούτων ἀνάλυσις οὐκ ἄνευ καρποῦ καὶ ἡδύτητος γινομένη, πᾶν τοὐναντίον δείκνυσι.

## ΤΥΖ΄.

Κυκλικὴ δεῖξίς ἐστιν ὁπηνίκα τὶς εἰς δεῖξιν τῆς Α΄. προτάσεως, χρῆται τῇ προτάσει Β΄. αὕτη δὲ ἡ Β΄. οὐ δύναται δειχθῆναι δίχα τῆς Α΄.

„ Παρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„ Παρ. χάρ. Κυκλικὴν ἁμαρτάνοις ἂν δεῖξιν, ὥσπερ τὴν, ἣν ὁ Θεὸς ἐςὶν ἀΐδιος πρότασιν,
„ ἀποδείξεις ἐκ τῆς, ὁ Θεὸς ἐςὶν ὂν ἀναγκαῖον· ἀποδεῖξαν δ' ἔτι τὴν ὁ Θεὸς ἐςὶν ὂν
„ ἀναγκαῖον, ὡς ἐπικουρίαν λάβῃς τὴν, ὁ Θεὸς ἐςὶν ἀΐδιος· τρόπῳ γὰρ ὅτως ἀπο-
„ δείξεις τὴν ὁ Θεὸς ἐςὶν ἀΐδιος δι' ἑαυτῆς, ὅτι ὁ Θεὸς ἐςὶν ἀΐδιος.

## ΤΥΗ΄.

Ἡ Κυκλικὴ δεῖξις ἐπιμελῶς φευκτέα ὡς οἷόν τε.

Δεῖξ. Ὁ γὰρ τὴν Κυκλικὴν δεῖξιν πλημμελῶν, τὴν πρότασιν Α΄. διὰ τῆς προτάσεως Β΄. καὶ τὴν Β΄. διὰ τῆς Α΄. δείκνυσι, καὶ ἑπομένως τὴν Α΄. διὰ τῆς Α΄. δι' ἑαυτῆς δηλονότι. Ἐπεὶ δὲ ὐδεμία δύναται εἶναι ἅμα δεικνῦσα πρότασις καὶ δεικνυμένη (ἄλλως γὰρ ἂν ἅμα εἴησαν ἀρχαὶ, καὶ τὸ ἐκ τῆς ἀρχῆς αἰτία καὶ ἀποτέλεσμα κατὰ τὴν αὐτὴν ἀναφορὰν) δῆλον ἄρ' ὅτι ἡ Κυκλικὴ δεῖξις γελοία ἐςὶ, καὶ ἑπομένως φευκτέα ὡς οἷόν τε.

## ΤΥΘ΄.

Ὁποιαδηποτῦν πρότασις ὀρθῶς καὶ κατὰ κανόνα ἀποδέδεικται, βεβαίως ἐςὶν ἀληθής.

Δεῖξ. Ὁποιαδηποτῦν γὰρ πρότασις ὀρθῶς καὶ κατὰ κανόνα ἀπεδείχθη, τῇ πείρᾳ αὐτὴ ἐρείδεται. Τοῖς ὁρισμοῖς, καὶ τοῖς ἀξιώμασιν (ΤΠΘ΄.) Ἐπεὶ δὲ αἱ πεῖραι, ὁ ὁρισμοὶ, καὶ τὰ ἀξιώματα βέβαιά ἐςι (ΤΠΒ΄. καὶ ἑπόμενον) πρόδηλον ὅτι αἱ προτάσεις αἱ ὀρθῶς ἐκ τύτων παραγόμεναι, βέβαιοι ἔτι εἰσὶ, καὶ βεβαίως ἀληθεῖς, εἴγε αἱ τῦ ἀποδεικνύσαι ἀρχαὶ ὦσι βέβαιοι· ἐκ γὰρ ἀληθῶν προκειμένων ὐκ ἐθέλ' ὅπως κατὰ κανόνα μὴ ὀρθὲν ἀπορρεῖν συμπέρασμα. Εἶχεν ἂν καὶ ὕτω δειχθῆναι ἡ αὐτὴ πρότασις. Ἐν ἁπάσῃ προτάσει ὀρθῶς καὶ κατὰ κανόνα δεικνυομένῃ, τὴν τῦ κατηγορυμένυ καὶ ὑποκειμένυ συνάφειαν διακεκριμένως ὁρῶμεν, καὶ τὸν ἀποχρῶντα λόγον, δι' ὃν ἐςὶν ἀληθὴς γινώσκομεν, θεωρῦντες ταύτην, ὥσπερ ἐξ οἰκείων παραγομένην ἀρχῶν. Ἐν ὁποιαδήποτε δὲ προτάσει τὸν ἀποχρῶντα λόγον, τῆς τῦ ὑποκειμένυ καὶ κατηγορυμένυ συναφείας διακεκριμένως ἐπιγινώσκομεν,



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... Κ. Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ τῆς ἀληθείας τῆς προτάσεως ταύτης βέβαιοι ἐσμὲν, (ΤΜΗ'.) ὡσθ' ἔτω τὴν πρότασιν ταύτην, μὴ δύναθαι μὴ εἶναι βεβαίαν ἡμῖν ὡς ὀρθῶς καὶ κατὰ κανόνα ἀποδειχθεῖσαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Υ'.

Τὴν ἀπόδειξιν τοιγαρῦν ἀρίςην εἶναι ὁδὸν τῆς εἰς τὴν βεβαίαν ἀλήθειαν ἀφίξεως, ἐκ τῶν εἰρημένων ἀρκύντως δηλῦται.

## ΥΑ'.

Ἐπείπερ ὖν τήν τε πεῖραν καὶ τὴν δεῖξιν τῆς βεβαιότητος εἶναι ςηρίγματα ἀπεδείχθη (ΤΙΙΑ'. καὶ Υ'.) ἀλήθεια ἡμῖν βεβαία δύναται λέγεσθαι ἡ ἐν ἀμφιβόλῳ αἰσθάνσει, (ἤτοι πείρᾳ) ἢ σαφεῖ ἀρχῇ ςηριζομένη. Ὅρα Εὐγενίε Λογικ. σελ. 119. βεβαίως δὲ ψευδὲς, τὸ αναμφιβόλῳ αἰσθάνσει, ἢ σαφεῖ ἀρχῇ μαχόμενον.

## ΥΒ'.

Ἀπαιτύμενον εἰς τὴν ἀλήθειαν φαμὲν, τὰ δι' ὧν τὸ κατηγορύμενον τῷ ὑποκειμένῳ ἀποδίδοσθαι διορίζεται.

» *Παρ. χάρ.* Εἰς τὴν ἀθανασίαν τῶν ψυχῶν ἀπαιτεῖται α. Ἡ ἀφθαρσία. β. Ἡ ςάσις
» τῶν διακεκριμένων ἰδεῶν. γ. τὴν ψυχὴν διασώζειν τὴν μνήμην τῆς παρελθέσης ςά-
» σεως. Διὸ δὴ εἰδὼς τὴν τῦ ἀνθρώπυ Λογικὴν ψυχὴν μετὰ τὸν θάνατον μὴ ἀπόλ-
» λυσθαι, ἀλλὰ διαμένειν, καὶ ἅμα ἐν τῇ ςάσει τῶν διακεκριμένων ἰδεῶν περιςρέφεσθαι, καὶ
» τὴν μνήμην ἑαυτῆς καὶ τῆς παρελθύσης ςάσεως διασώζειν πάντα παρεῖναι, γινώσκεις
» τὰ εἰς ἀθανασίαν τῆς Λογικῆς τῦ ἀνθρώπυ ψυχῆς ἀπαιτύμενα.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΥΓ'.

# ΠΕΡΙ ΠΟΙΚΙΛΩΝ

## ΤΓ'.

Ἐκ τούτου εὔδηλον γίνεται, ὡς τῷ πάντα παρεῖναι εἰδότι τὴν ἀλήθειαν ἀπαιτούμενα, βεβαίως γινώσκειν χρεὼν τὴν ἀλήθειαν.

Δεῖξις. Εἰ γὰρ ὁ πάντα τὰ εἰς τὴν ἀλήθειαν ἀπαιτούμενα παρ[ε]ι... νώσκων, πάντα οἶδε παρεῖναι, δι' ὧν τὸ κατηγορούμενον τῷ ὑποκε[ιμέ]νῳ... ...ῆκον διορίζεται, ὁ δὲ πάντα παρεῖναι εἰδὼς, δι' ὧν τὸ κατηγορήμ[ενον τῷ] ὑποκειμένῳ ἀποδοτέον διορίζεται, καθορᾷ τὸν διορίζοντα λόγον, δι[ὃ] νοεῖται τί δήποτε τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀνήκει· ὁ δὲ [... ...]μένως καθορῶν τὸν λόγον τὸν τῷ ὑποκειμένῳ ἀνήκειν ἀποτελοῦντ[α τὸ κα]τηγορούμενον βεβαίως τὴν ἀλήθειαν οἶδε (ΓΜΗ'.), ἄρα ὁ πάντα τ[ὰ ἀπαι]τούμενα κτλ'.

„ Παρ. χάρ. Εἰς τὴν ἀλήθειαν ταύτης ἡ ψυχὴ ἐστὶν ἀθάνατος, ἀπαιτεῖται τρ[ία]
„ ά. Ἡ ἀφθαρσία. β'. Ἡ διαμονὴ ἐν τῇ τῶν διακεκριμένων Ἰδεῶν στάσει. γ'...
„ μη κ̀ ἡ ἀνάμνησις τῆς προτέρας στάσεως. κ̀ ἡ παραβολὴ τῆς παρούσης σ[τάσεως τῇ]
„ προτέρᾳ. Ὁ τοίνυν ταῦτα πάντα εἰδὼς τὰ τῇ ἀνθρωπίνῃ ψυχῇ μετὰ τὸν τ[ῆς]
„ θάνατον ἀπαιτούμενα, παρεῖναι, οὗτος οἶδε βεβαίως τὴν ψυχὴν εἶναι ἀθάνατ[ον]
„ τούτων κατανοεῖς, ὀρθῶς ἡμᾶς κατηγορῆσαι (ΤΜΘ'.) ἀλήθειαν εἶναι βεβ[αί]...
„ δότι τὸν ἀποχρῶντα λόγον, δι' ὃ ἀνήκει τῷ ὑποκειμένῳ τὸ κατηγορο[ύμενον]
„ γὰρ ἀπαιτούμενα τῇ ἀληθείᾳ πάντα διορίζει, κ̀ ἐπιτελεῖ τὸ κατηγορούμενον
„ κειμένῳ ἀνήκειν, κ̀ ἑπομένως τὸν ἀποχρῶντα συνιστῶσι λόγον, ἐξ οὗ κατανο[εῖ]
„ νεται, διατί ποτε τὸ κατηγορούμενον ἀπονέμεται τῷ ὑποκειμένῳ.

## ΤΔ'.

Ἐντεῦθεν διὰ τῶν ἀντικειμένων συνάγεται, τινὰ μόνον ἀπα[ι]... τὸν μὴ ἀποχρῶντα συνιστᾶν λόγον, διατίποτε τὸ κατηγορούμενον τῷ [ὑποκει]μένῳ ἀποδοτέον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

„ Ὁ τὴν ψυχὴν εἰδὼς διὰ τὴν ἑαυτῆς ἁπλότητα, ἐξ οἰκείας φύσεως καὶ ἐσωτερικῆς ἀρχῆς
„ ἄφθαρτον εἶναι, ἀγνοεῖ δὲ εἴπερ ἡ ψυχὴ ἐν στάσει ἐστὶν ἰδεῶν διακεκριμένων, καὶ εἴπερ
„ τὴν μνήμην τῆς προτέρας αὐτῆς στάσεως διασώζει, τινὰ μόνον ἔγνω τῶν εἰς τὴν ἀθανα-
„ σίαν τῆς ψυχῆς ἀπαιτουμένων, καὶ ἑπομένως οἶδε μὲν λόγον, δι᾽ ὃν ἡ ψυχὴ ἀθάνατος
„ λέγεται, οὐχὶ δὲ τὸν ἀποχρῶντα. Ἐκ τούτων οὖν οἶμαι δύναται πᾶς τις κατανοεῖν,
„ τίποτ᾽ ἐστὶ πιθανὴ ἀλήθεια, περὶ ἧς δηλώσει τὸ Κεφάλαιον τέταρτον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ



Ε.Υ.Δ.Ε.Ε.Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006